# ΣΥΝΤΑΚΤΙΚΟΝ.

## ΤΗΣ

## ΕΛΛΗΝΙΚΗΣ ΓΛΩΣΣΗΣ.

Ἐκ τῆς δωδεκατόμου Ἐγκυκλοπαιδείας τοῦ ἀοιδίμου

## ΣΤΕΦΑΝΟΥ ΚΟΜΜΗΤΑ.

Νῦν τὸ δεύτερον ἐκ τῶν δοκιμωτέρων Γραμματικῶν ἐπιδιορθωθὲν, καὶ προσθήκαις πολλῶν ὑποσημειώσεων, καὶ κανόνων ὁλοκλήρων ἐπαυξηθὲν, ἐκδίδοται εἰς τύπον

ὑπὸ

ΓΕΩΡΓΙΟΥ ΜΟΥΣΑΙΟΥ, καὶ ΕΥΘΥΜΙΟΥ ΚΛΕΑΝΘΟΥΣ.

Ἔκδοσις δευτέρα.

ἘΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ

ἘΚ ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ.

1842.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ὥσπερ ἐν τῷ σφαιρίζειν τῷ βαλόντι δεῖ συγκινούμενον εὐρύθμως φέρεσθαι τὸν δεχόμενον, οὕτως ἐπὶ τῶν λόγων ἐστί τις εὐρυθμία καὶ περὶ τὸν λέγοντα καὶ περὶ τὸν ἀκροώμενον, ἂν ἑκάτερος τὸ προσῆκον αὐτῷ φυλάττῃ.

Πλούταρχος ἐν τῷ περὶ τοῦ ἀκούειν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΥΠΕΥΘΥΝΟΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΠΡΟΣ ΤΟΥΣ ΑΝΑΓΝΩΣΤΑΣ.

ΔΕΝ ὑπάρχει κἀνεὶς, ὅστις δὲν συνορᾷ, καὶ δὲν διαθρυλλεῖ λαμπρῶς τὸν εἰς τὴν μάθησιν πλουτισμὸν καὶ πρόοδον, τὰ ὁποῖα, ἐπέφερεν εἰς τοὺς μουσοτρόφους τὸ μεθοδικώτατον σύστημα τῆς δωδεκατόμου, συντεθὲν ἀπὸ τὸν σοφώτατον καὶ νουνεχέστατον ἐκεῖνον ἄνδρα τὸν Κύριον Στέφανον Κομμητᾶν ἀφοῦ εἰς τὸ αἰσθητὸν φῶς ὑπ' αὐτοῦ ἐξεδόθη. Ἀλλ' ἐπειδὴ ὑπὸ τοῦ χρόνου σχεδὸν ἐξέλιπε, καὶ ἡ νεολαία εἴργετο πάλιν τῆς εἰς τὰ πρόσω γιγαντιαίοις τοῖς βήμασι πρὸς τὴν παιδείαν προόδου, ἀναδεχθεὶς τὴν δευτέραν αὐτῆς ἔκδοσιν ὁ ἐν φιλομούσοις Κύριος Κωνσταντῖνος Γκαρπολᾶς καὶ μετὰ πολλῆς τῆς ἐπιμελείας και ἐπιστασίας εἰς τὸ μεθοδικώτερον αὐτὴν μεθαρμόσας, καὶ πολλὰ προσθεὶς εἰσέτι ἀναγκαῖα, εἰς τὸ τελειότερον τὸ ἔργον προήγαγεν, εἰς δεκάτομον αὐτὴν διατάξας. Ἐπειδὴ δὲ τὴν περὶ τῆς Γραμματικῆς συντάξεως, Ποιητικῆς καὶ Ῥητορικῆς διδασκαλίαν, διότι μεθοδικώτεραι παρὰ ταύτας ἐκδόσεις ἠλπίζοντο, ἀφήρεσεν, ἡ δὲ ὑστέρησις αὕτη οὐκ ὀλίγης βλάβης παραίτιος ἐγένετο, καὶ ἡ προσθήκη μεγίστης ὠφελείας, διὰ τὸ εὐσύνοπτον τῆς διδασκαλίας, τὸ ὁποῖον χειραγωγεῖ τοὺς μαθητιῶντας πρὸς τὴν εὐμεθοδεστέραν κατάληψιν τῶν Συγγραφέων Ποιητῶν καὶ Ῥητόρων, ἀνεδέχθημεν ἡμεῖς τὴν τούτων ἔκδοσιν, ἂν καὶ ὑπὲρ τὴν ἡμῶν δύναμιν λογίζεται, προθυμοποιηθέντες καὶ τὸ φιλογενὲς ἡμῶν νὰ παραστήσωμεν καὶ τὸν εἰς τὴν πρόοδον τῆς νεολαίας ζῆλον νὰ ἀναζωπυρώσωμεν.

Ἐκ τούτων λοιπὸν τὴν μὲν γραμματικὴν παρελίπομεν, διότι μεθοδικώτεραι γραμματικαὶ ἐξεδόθησαν, καὶ διότι ἕκαστος σχεδὸν τῶν

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΣΗ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ψ.Υ.Δ της Κ.τ. ΙΩΑΝΝΙΝΑ 2006

διδασκόντων ἰδίαν ἔχει γραμματικήν, τὸ δὲ συντακτικὸν μέρος, διορθώσαντες ἐξεδώκαμεν, καὶ ταῖς ἀναγκαιοτέραις σημειώσεσι πλουτίσαντες αὐτὸ ἐκ τῶν ἐπισημοτέρων γραμματικῶν, ὥστε νὰ προσφέρωμεν αὐτὸ ὠφελιμώτερον εἰς τοὺς πρωτοπείρους μαθητιῶντας· τὴν δὲ Ποιητικὴν ἐκδίδομεν προσθέσαντες καὶ τὴν Στιχουργικήν, ἤτοι διδασκαλίαν τῆς ἤδη ἐν χρήσει ποιήσεως τοῦ Κυρίου Ἀθανασίου Χριστοπούλου· ἐπειδὴ δι' αὐτῆς οἱ ποιηταὶ τοῦ παρόντος αἰῶνος χειραγωγούμενοι τὰ κάλλιστα αὐτῶν ποιοῦσι ποιήματα· ἔτι δὲ καὶ τὴν σύγκρισιν τῆς παλαιᾶς τε καὶ νέας ποιητικῆς τοῦ Κυρίου Ῥαγκαβῆ, ὥστε νὰ λογίζεται καὶ ἡ νέα οὐχὶ ὡς ἀλλοτρία, ἀλλ' ὡς ἔκγονος τῆς παλαιᾶς, καὶ σχεδὸν ὁμοία· καὶ τὴν Ῥητορικὴν ὡσαύτως, ὅσον τὸ δυνατὸν καὶ ταύτην διορθώσαντες.

Δεχθῆτε λοιπόν, ὦ φιλόμουσοι, καὶ ἐρασταὶ τῆς ἱερᾶς παιδείας, καὶ ταῦτα τῆς δεκατόμου ἀναγκαῖα μέλη, ἵνα συσσωματώσητε καὶ ἀναπληρώσητε τὸ ἐλλεῖπον τοῦτο σῶμα· καὶ δρέπησθε ἐντελεῖς τοὺς ἐκ ταύτης καρπούς, καὶ ἐνθαῤῥύνητε ἡμᾶς καὶ εἰς λοιπὰς ἀναγκαίων βιβλίων ἐκδόσεις. Μὴ ὅμως ἀγενῶς εἴς τι τῶν παθῶν κλίνοντες περιέργως καὶ ἐμπαθῶς κρίνατε ταῦτα, ἀλλ' ὡς ἀπὸ στάθμης πρὸς τὸ δίκαιον κλίνοντες. συγχωρήσατε δὲ καὶ εἴτι διέλαθεν ἡμᾶς, τὰ ἀμείνω τούτων ὑμεῖς εἰς φῶς ἄγοντες· Ἔῤῥωσθε.

Οἱ Ἐκδόται·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΜΕΛΗΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

# ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

## Περὶ Συντάξεως.

### ΤΜΗΜΑ ΠΡΩΤΟΝ.

### Κατάλληλον.

#### Ἡ περὶ Συμφωνιῶν καὶ κοινῆς Συντάξεως.

#### Περὶ Συμφωνιῶν.

Συμφωνίαι εἰσὶ τρεῖς· ἡ Ὀνομαστικὴ μετὰ τοῦ Ῥήματος, τὸ Οὐσιαστικὸν μετὰ τοῦ Ἐπιθέτου, καὶ τὸ Ἀναφορικὸν μετὰ τοῦ πρὸς ὃ ἀναφέρεται.

#### Περὶ Ῥηματικῆς Συμφωνίας.

Ἡ μὲν οὖν Ὀνομαστικὴ μετὰ τοῦ Ῥήματος συμφωνεῖ εἰς δύο· οἷον· Σωκράτης φιλοσοφεῖ· ἀριθμοῦ ἑνικοῦ, προσώπου τρίτου, ἀμφότερα· Σωκράτης ἡ Ὀνομαστική, φιλοσοφεῖ τὸ Ῥῆμα.

Σημ. Μετὰ τὴν Ὀνομαστικὴν τοῦ ῥήματος, ἐὰν ἕπηται προσωπικὴ προθετόπτωτος γενικὴ μετὰ τῆς Μετά, ἢ δοτικὴ μετὰ τῆς Σύν, ἐπειδὴ αὗται ὀνομαστικαὶ οὖσαι εἰς προθετικὰς μετεβλήθησαν πτώσεις, πληθυντικῶς τίθεται τὸ ῥῆμα, συμφωνοῦν κατὰ ἀριθμὸν πρὸς τὸ ὅλον· οἷον Ἀλκιβιάδης μετὰ Μαντιθέου ἀπέδρασαν εἰς Κλαζομενάς (Ξενοφ Ἑλλην· Α 1· 10) ἀντὶ τοῦ, Ἀλκιβιάδης καὶ Μαντιθέος. Ἐσθ' ὅτε δὲ καὶ μετοχὴ ἀντὶ συμπλεκτικοῦ παραλαμβάνεται, μεταβαλλομένης τῆς δευτέρας ὀνομαστικῆς, εἰς ἣν ἀπαιτεῖ πτῶσιν ἡ μετοχή, διὸ πληθυντικῶς ἐπιφέρεται κἀνταῦθα τὸ ῥῆμα· οἷον· ἐκείνη (ἡ Ῥέα) παραλαβοῦσα καὶ τοὺς Κορύβαντας . . . τὴν Ἴδην περιπολοῦσιν· ἀντί, ἡ Ῥέα καὶ οἱ Κορ.

Τὰ δὲ Περιληπτικά, ἐπειδὴ πλῆθος ἐν ἑνικῷ ἀριθμῷ σημαίνουσι, καὶ πληθυντικοῖς συμφωνοῦσι ῥήμασιν· οἷον· ὁ δῆμος εἶπον, ἕκαστοι γράφουσιν.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΥΠΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Τὸ δὲ ἄμφω καὶ δύο, δυϊκοῦ ἀριθμοῦ ὄντα, καὶ πληθυντικῷ ῥήματι συμφωνοῦσιν· οἷον· ἄμφω τρέχουσι, καὶ δύο τρέχουσιν.

Αἱ δὲ πληθυντικαὶ τῶν οὐδετέρων ὀνομαστικαὶ, κατὰ τὸ τρίτον πρόσωπον ἑνικοῖς ῥήμασι συμφωνοῦσιν Ἀττικῶς· οἷον· τὰ παιδία παίζει, ἀντὶ παίζουσιν.

Πάντα δὲ τὰ παρὰ τὰ Περιληπτικὰ, καὶ ἄμφω, καὶ δύο, καὶ τὰ Ἀττικῶς οὐδέτερα, τὸν κοινὸν τηροῦσι κανόνα· ὅθεν καὶ ὅσα πληθυντικῶς μὲν σχηματίζονται, ἓν δὲ ἢ δύο σημαίνουσι, κατὰ τὸν σχηματισμὸν συμφωνοῦσι τοῖς ῥήμασιν, οὐ κατὰ τὸ σημαινόμενον· οἷον· Ἀθῆναι φιλοσοφίᾳ διέπρεπον, οὐ διέπρεπεν· ἀμφότεροι τρέχουσιν, οὐ τρέχετον.

Σημ. Εὑρίσκονται δὲ καὶ κύρια ὀνόματα πόλεων, κατὰ φωνὴν μὲν πληθυντικὰ, κατὰ σημασίαν δὲ ἑνικά· οὐ κατὰ τὸν σχηματισμὸν, κατὰ δὲ τὸ σημαινόμενον τοῖς ῥήμασι συμφωνοῦντα· οἷον· τῶν πόλεων ἀντέσχε πλεῖστον πολιορκεομένη Σόλοι (Ἡροδ. Ε. 122) οἱ γὰρ Σόλοι μίαν σημαίνουσι πόλιν.

Γίνεται δὲ ἡ Ῥηματικὴ Συμφωνία ἀπὸ παντὸς Ῥήματος πρόσωπα διακρίνοντος· τὰ γὰρ ἀπαρέμφατα, καὶ τὰ ἀπρόσωπα, ὡς μὴ διακρίνοντα πρόσωπα, οὐ ποιοῦσι Συμφωνίαν.

## Περὶ Ἐπιθετικῆς Συμφωνίας.

Τὸ δ' Οὐσιαστικὸν μετὰ τοῦ Ἐπιθέτου συμφωνεῖ εἰς τρία· εἰς Γένος, εἰς Ἀριθμὸν, καὶ εἰς Πτῶσιν· οἷον· ὁ σοφὸς Σωκράτης· γένους ἀρσενικοῦ, ἀριθμοῦ ἑνικοῦ, πτώσεως ὀνομαστικῆς, ἀμφότερα· Σωκράτης τὸ Οὐσιαστικὸν, σοφὸς τὸ Ἐπίθετον· ὁ σοφὸς, ἡ σοφὴ, τὸ σοφόν.

Σημ. α΄ Πολλάκις τὸ Οὐσιαστικὸν εἰς γενικὴν πληθυντικὴν μεταβάλλεται κατὰ διαίρεσιν. οἷον· οἱ φρόνιμοι τῶν ἀνθρώπων, τὰ ἄλογα τῶν ζώων· ἀντὶ τοῦ, οἱ φρόνιμοι ἄνθρωποι, τὰ ἄλογα ζῶα. Ἀλλὰ ταῦτα εἰς μόνα τὰ μερικῶς θεωρούμενα· οὐ γὰρ δυνάμεθα εἰπεῖν, οἱ θνητοὶ τῶν ἀνθρώπων, πάντες τῆς αὐτῆς φύσεως ὄντες. Ἀλλὰ γὰρ τὰ τοιαῦτα τινὲς ταῖς Μεταλήψεσιν ἀνάγουσιν, ὡς καὶ τὸ Ἰωνικὸν τῆς στολῆς, μεταβολῇ τοῦ μὲν ἐπιθέτου εἰς οὐδέτερον, τοῦ δ' οὐσιαστικοῦ εἰς γενικὴν, ἀντὶ ἡ Ἰωνικὴ στολή. Περὶ τούτων ὅρα εἰς τὸ περὶ Μεταλήψεως. Ἔνθα οἱ Ἀττικώτεροι ἐπὶ τῆς τοιαύτης τροπῆς ἐφύλαττο

ὁμογενὲς τὸ ἐπίθετον τῷ οὐσιαστικῷ· οἷον· τῆς γῆς ἡ ἀρίστη. (Θουκυδ. . 2)
Σημ. β Ἐξαιροῦνται τινὰ δυϊκὰ τῶν θηλυκῶν οὐσιαστικῶν, ἀρσενικοῖς ἐπιθέτοις συμφωνοῦντα· οἷον· καὶ μίαν ἄμφω τούτω τὼ ἡμέρα λογίζονται (Ξενοφ. Κύρ. παιδ. Λ. 2 11.) Ἡμῶν ἐν ἑκάστῳ δύο τινὲ ἐστον ἰδέα ἄρχοντε καὶ ἄγοντε, οἷν ἑπόμεθα. (Πλάτ. Φαίδρ. σελ. 237, δ.) Ἀντὶ ἀρχούσα καὶ ἀγούσα, αἷν κ τ λ.

Τὰ δὲ Περιληπτικὰ καὶ ἐν τῇ Ἐπιθετικῇ Συμφωνίᾳ διαφέρει· ἑνικοῦ γὰρ ὄντα ἀριθμοῦ, πολλάκις καὶ πληθυντικοῖς ἐπιθέτοις συμφωνοῦσι διττῶς, ἤτοι κατὰ γένος καὶ πτῶσιν· ὅταν τὰ περιληπτικὰ ὦσιν Ἀρσενικά· οἷον· ὁ ὄχλος ἀκούσαντες· ἢ κατὰ πτῶσιν μόνον, ὅταν ὦσι θηλυκὰ ἢ οὐδέτερα· οἷον· ἡ πόλις ἀκούσαντες· τὸ πλῆθος συνελθόντες.

Γίνεται δὲ ἡ Ἐπιθετικὴ Συμφωνία οὐ μόνον ἀπὸ ἐπιθέτων ὀνομάτων, κατὰ τῶν Οὐσιαστικῶν λεγομένων, ἀλλὰ καὶ ἀπὸ Μετοχῶν, καὶ Ἀντωνυμιῶν, τριγενῶς κλινομένων· καὶ ταῦτα γὰρ κατὰ τὰ Ἐπίθετα κατὰ τῶν Οὐσιαστικῶν λέγονται.

## Περὶ Ἀναφορικῆς Συμφωνίας.

Τὸ δὲ Ἀναφορικὸν μετὰ τοῦ πρὸς ὃ ἀναφέρεται, ὡς ἐπὶ τὸ πλεῖστον μὲν συμφωνεῖ εἰς δύο· εἰς γένος καὶ ἀριθμόν· οἷον· τιμῶ Ὅμηρον, ὃς τοὺς Δαναοὺς ἐπαινεῖ· Ὅμηρον, ὅς, Συμφωνία Ἀναφορική, συμφωνεῖ εἰς δύο· εἰς γένος, καὶ ἀριθμόν· ἀριθμοῦ ἑνικοῦ, γένους ἀρσενικοῦ, ἑκάτερα. Ὅς τὸ Ἀναφορικόν, Ὅμηρον τὸ πρὸς ὃ ἀναφέρεται· ἔστι δὲ καὶ εἰς τρία· εἰς γένος, εἰς ἀριθμόν, καὶ εἰς πτῶσιν· οἷον. ταῦτ' εἶπεν Ὅμηρος, ὃς τοὺς Δαναοὺς ἐπαινεῖ. Ὅμηρος, ὅς· Συμφωνία ἀναφορική, συμφωνεῖ εἰς τρία, εἰς γένος, εἰς ἀριθμόν, καὶ εἰς πτῶσιν, γένους ἀρσενικοῦ, ἀριθμοῦ ἑνικοῦ, πτώσεως ὀνομαστικῆς. Ὅς, τὸ Ἀναφορικόν, Ὅμηρος τὸ πρὸς ὃ ἀναφέρεται.

Τὰ δέ τοι ἀναφορικὰ πάντα εἰσὶν ἀντωνυμικά· τὰ πρὸς ἃ δὲ γίνεται ἡ ἀναφορά, ἤτοι Ὀνόματα, ἢ Ἀντωνυμίαι.

Ε.Υ.Δ της Δ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

## Περὶ Λόγου.

Λόγος μέν ἐστιν αὐτοτελὴς διάνοια. Συνίσταται δὲ ἐξ ὑποκειμένου, τοῦτ' ἔστιν Ὀνόματος, καὶ διαθέσεως ἐνεργούσης, ἢ πασχούσης, ἢ οὐδετέρως ἐχούσης, τοῦτ' ἔστι Ῥήματος· καὶ ἐὰν ἡ διάθεσις τοῦ Ῥήματος ἐνεργητικὴ ᾖ, ἀπαιτεῖ καὶ ἕτερον ὑποκείμενον, πρὸς ὃ μεταβιβάζοιτ' ἂν ἡ ἐνέργεια· οἷον· ἐγὼ διδάσκω σέ· καὶ εἴτι ἄλλο συμβάλλει εἰς ἐντέλειαν τῆς διανοίας· οἷον· ἐγὼ διδάσκω σὲ γραμματικὰ ἐν Ἀθήναις ἐπιμελῶς· ἐὰν δὲ ἡ διάθεσις τοῦ ῥήματος παθητικὴ ᾖ, ἀπαιτεῖ τὸ ὑφ' οὗ πάσχει· οἷον· ὁ παῖς τύπτεται ὑπὸ τοῦ διδασκάλου· ἐὰν δὲ οὐδετέρα, οὐδὲν τούτων ἀπαιτεῖ· οἷον· ἐγὼ ζῶ, πλουτῶ, ὑγιαίνω, εἰμί.

Πᾶς ἄρα λόγος συνίσταται ἐξ Ὀνόματος καὶ Ῥήματος· καὶ χωρὶς μὲν τῶν ἄλλων μερῶν γίγνοιτο ἂν λόγος τέλειος, διάνοιαν αὐτοτελῆ δηλῶν· οἷον· Σωκράτης φιλοσοφεῖ· ἔνθα διαφέρει μηδὲν Ὄνομα λαβεῖν ἢ Ἀντωνυμίαν· οἷον· ἐγὼ γράφω, σὺ ἀναγινώσκεις· ἄνευ δὲ Ὀνόματος, ἢ Ἀντωνυμίας, καὶ Ῥήματος, οὐκ ἂν γένοιτο λόγος τέλειος, διάνοιαν αὐτοτελῆ δηλῶν· οἷον· καλῶς, ἐν Ἀθήναις· ταῦτα γὰρ, ἐὰν μὴ πρός τι Ῥῆμα ἀναφέρηται· οἷον καλῶς γράφει, ἐν Ἀθήναις οἰκεῖ ὁ δεῖνα· οὐδεμίαν διάνοιαν ποιοῦσιν ἐντελῆ.

Τὰ μέρη τοῦ λόγου εἰσὶ τέσσαρα· πρῶτον τὸ ὑποκείμενον διὰ τῆς ὀνομαστικῆς δηλούμενον· δεύτερον, ἡ διάθεσις τοῦ ὑποκειμένου διὰ τοῦ ῥήματος· τρίτον, ἡ μετάβασις τῆς διαθέσεως εἰς ἄλλο ὑποκείμενον διά τινος πλαγίας πτώσεως Γενικῆς, ἢ Δοτικῆς, ἢ Αἰτιατικῆς· τέταρτον, ὁποιονδήποτοῦν ἄλλο ἀπαιτεῖται εἰς ἐντέλειαν τῆς διανοίας· οἷον· ὁ Σωκράτης διδάσκει τοὺς μαθητὰς τὰ ἠθικὰ ἐπιμελῶς ἐν Ἀθήναις· ἔνθα πρῶτον μὲν ἐστὶν, ὁ Σωκράτης, δεύτερον, τὸ, διδάσκει, τρίτον, τοὺς μαθητάς· τὰ δὲ λοιπὰ πάντα τετάρτου τάξιν ἔχει· ὅθεν καὶ λέγομεν, ἐκ πρώτου, ἐκ τρίτου, καὶ ἐκ τετάρτου τοῦ ῥήματος· αὐτοῦ δὴ τοῦ ῥήματος ὡς βάσις ὄντος τοῦ λόγου.

Ἐκ τοῦ παραδείγματος φανερὸν ὅτι τὸ ἐκ τετάρτου διαφόρως ἐκφράζεται, καὶ διὰ πλαγίας πτώσεως, καὶ ἐπιῤῥηματικῶς, καὶ διὰ προθέσεως μετά τινος πλαγίας πτώσεως· καὶ ὡς ἂν ἄλλως ὁ νοῦς ἀπαιτεῖ.

Καθ' ὁποιανδήτινα τάξιν, ἐὰν εὑρεθῶσιν οὐσιαστικὰ καὶ ἐπίθετα, συμφωνήσουσιν, ὁμοιογενῶς, ὁμοιοπτώτως, καὶ ὁμοιαρίθμως· οἷον· Σωκράτης ὁ φιλόσοφος διδάσκει τοὺς ἐπιμελουμένους μαθητὰς τὰ ἠθικὰ μαθήματα ἐν τῇ περιφήμῳ πόλει τῶν Ἀθηνῶν δι' οἰκείαν ἀγαθότητα· τό, τε γάρ, Σωκράτης ὁ φιλόσοφος, ἐκ πρώτου· καὶ τό, Τοὺς ἐπιμελουμένους μαθητάς, ἐκ τρίτου, καί, Τὰ ἠθικὰ μαθήματα, καί, Τῇ περιφήμῳ πόλει, καί, Οἰκείαν ἀγαθότητα, ἐκ τετάρτου, ἐπειδὴ πρὸς ἓν ἀναφέρονται ὑποκείμενον ἕκαστον, ὁμοιογενῶς, ὁμοιαρίθμως, καὶ ὁμοιοπτώτως λέγονται.

## Περὶ Πλαγίας Συντάξεως τῶν Μερῶν τοῦ Λόγου.

### Τοῦ Ὀνόματος.

Τὰ μὲν Ὀνόματα πλαγίως συντασσόμενα φέρονται·

α΄. Πρὸς Αἰτιατικήν, τὰ Ἐπίθετα· οἷον· καλὸς τὸ εἶδος· ἡ πτῶσις καλεῖται Συνεκδοχική.

Σημ. Ἀλλ' ἀντὶ τῆς αἰτιατικῆς ἐσθ' ὅτε καὶ ἀπαρεμφάτῳ ὀνοματικῷ χρώμεθα· οἷον· καλὸς ἰδεῖν· δεινὸς εὑρεῖν· ταχὺς νοῆσαι.

β΄. Πρὸς Δοτικήν, τὰ ἐξ ἴσου τῶν πρός τι· οἷον· ἴσος τῷ πατρί· ἡ πτῶσις ὀνομάζεται Σχετική.

γ΄. Πρὸς Γενικήν.

Τῶν πρός τι τὰ καθ' ὑπεροχὴν καὶ ὑποταγήν· οἷον· πατὴρ υἱοῦ, δοῦλος δεσπότου· ἡ πτῶσις καλεῖται Σχετική.

Τὰ κτητικά· ἤτοι τὰ τὸ κτῆμα σημαίνοντα· οἷον· οἶκος Ἀριστοτέλους· ἡ πτῶσις προσαγορεύεται Κτητική.

Τὰ ὡς κτητικά· ἤτοι τὰ τὸν κτήτορα σημαίνοντα· οἷον· ἄξιος τιμῆς· ἡ πτῶσις λέγεται ὡς Κτητική.

Τὰ παραθετικά· οἷον· Σωκράτης Μελίσσου σοφώτερος, Ἀριστοτέλης Ἑλλήνων σοφώτατος· ἡ πτῶσις καλεῖται Παραθετική.

Τὰ διαφορικά· οἷον· διάφορον τοῦτο ἐκείνου· ἕτερον τὸ ζῶον τῆς ἀρετῆς· ἡ πτῶσις λέγεται Διαφορική.

Ἔνθα διαίρεσίς τις γίνεται· οἷον· ἕκαστος ἡμῶν· τῶν ἀνθρώπων οἱ μὲν ἀγαθοί, οἱ πλεῖστοι δὲ φαῦλοι· ἡ πτῶσις ὀνομάζεται Διαιρετική.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Τοῦ Ῥήματος.

Τὰ δὲ Ῥήματα πλαγίως συντάσσονται διττῶς, ἐκ τρίτου καὶ ἐκ τετάρτου.

Ἐκ τρίτου μὲν οὖν εἰσὶ τρία εἴδη κατὰ τὰς τρεῖς πλαγίας πτώσεις.

α. Τῶν κατ' ἐκπομπὴν· πρὸς αἰτιατικήν· ὅταν πρὸς τὰ ἔξω πέμπηται ἡ ἐνέργεια· οἷον· διδάσκω σέ.

β. Τῶν κατ' εἰσπομπὴν· πρὸς γενικήν· ὅταν ἐκ τῶν ἔξωθεν ἐπιστρέφῃ ἡ ἐνέργεια· οἷον· δέομαί σου.

γ. Τῶν κατ' ἀντιπίπτησιν· πρὸς δοτικήν· ὅταν κατ' ἀντίδρασιν ᾖ ἡ ἐνέργεια· οἷον· πολεμῶ σοι.

Ἡ Πτῶσις δὲ ἑκάστου προσαγορεύεται Μεταβατικὴ ἐκ τρίτου, ἢ Συντακτικὴ τοῦ Ῥήματος.

Ἐκ τετάρτου δὲ καὶ τοῖς ἐκ τρίτου κοινὰ ἤδη, ἕξ.

α. Διαβατικόν· ὅταν ἀπὸ τοῦ προσώπου εἰς πρᾶγμα διαβαίνῃ ἡ ἐνέργεια τοῦ ῥήματος· οἷον· διδάσκω σὲ γραμματικά· ἡ πτῶσις ὀνομάζεται Διαβατική.

β. Περιποιητικόν· πρὸς δοτικήν· ὅταν περιποίησιν, ἢ χάριν τινὰ δηλοῦν δέῃ· οἷον· τύπτω σοὶ τὸν παῖδα· ἡ πτῶσις καλεῖται Περιποιητική, ἢ Χαριστική.

Ε.Υ. Δίπης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γ'. Ἐλλειπτικόν. εἰς Αἰτιατικὴν, ἢ Δοτικὴν, ἢ Γενικὴν, ἐλλείψει τινὸς προθέσεως, ἢ συνδέσμου· οἷον· ἔζησεν ἔτη πολλά· τῷ καιρῷ ἐκείνῳ· ἑσπέρας ἥκει· ἡ πτῶσις λέγεται Ἐλλειπτική.

δ'. Ἀπαρεμφατικόν. πρός τι τῶν ἀπαρεμφάτων· ἤτοι Τελικὸν, ἔνθα ἀνήκει τὸ Ἵνα· οἷον· διδάσκω σὲ διαλέγεσθαι· ἢ Εἰδικὸν· ἔνθα ἀνήκει τὸ Ὅτι· οἷον· λέγεται γενέσθαι.

ε'. Προθετόπτωτον· εἰς προθέσεις μετά τινος πτώσεως πλαγίας· οἷον· ἐπαινῶ Σωκράτην διὶ ἀρετήν· ἡ πτῶσις λέγεται Συντακτικὴ τῆς προθέσεως.

στ'. Ἐπιῤῥηματικὸν· εἰς ἐπιῤῥήματα· οἷον· διδάσκω σὲ ἡδέως.

Εἰσὶ δὲ καὶ δύο ἄλλα εἴδη τοῦ ῥήματος ἰδιαίτερα.

α'. Ἐπιβατικὸν· πρὸς Αἰτιατικὴν πρᾶγμα σημαίνουσαν, τοῦ προσώπου ἐλλείποντος· οἷον· λέγω τὰ εἰκότα, διδάσκω γραμματικά· ἡ πτῶσις καλεῖται Ἐπιβατική.

β'. Ὡς ἐπιβατικὸν· ὅταν ἐκ τῆς συστοιχείας τοῦ ῥήματος προστεθῇ αἰτιατική· οἷον· ζῶ ζωήν· ἡ πτῶσις ὀνομάζεται ὡς Ἐπιβατική.

Ἐν τοῖς παθητικοῖς ῥήμασι τὸ ἐνεργοῦν τίθεται ἤτοι κατὰ γενικὴν ὁμοῦ τῇ Ὑπὸ, ἢ ἄλλῃ ὁμοίᾳ προθέσει, ἢ κατὰ δοτικήν· οἷον· τύπτεται ὑπὸ τοῦ διδασκάλου τέμνεταί μοι ὁ λίθος· ἡ δοτικὴ καλεῖται Παθητική.

## Τῆς Μετοχῆς.

Αἱ δὲ Μετοχαὶ ὡς μὲν Ὀνόματα, ὀνοματικῶς, ὡς δὲ Ῥήματα, ῥηματικῶς συντάσσονται· οἷον· Κωνσταντῖνος ὁ Λάσκαρις ἐτύγχανε διδάσκων τοὺς ἑαυτοῦ μαθητὰς τὰ γραμματικὰ ἐν Μεσσήνῃ τῆς Σικελίας.

Ὅταν δὲ δυοῖν λόγων ἑτεροπροσώπων τοῦ ἑνὸς τὸ ῥῆμα εἰς μετοχὴν ἀμείβηται, τότε κατὰ γενικὴν γίνεται ἡ ἀμοιβὴ αὕτη· οἷον· ἐμοῦ διδάσκοντος, σὺ μανθάνεις· ἀντὶ, ἐγὼ διδάσκω, καὶ

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΕΡΓ. Ν.Ε.Φ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σὺ μανθάνεις· ἡ πτῶσις καλεῖται Ἀπόλυτος· καὶ ἀποδίδοσθαι λέγεται πρὸς τὸ προσεχὲς ῥῆμα· οὕτως οὖν λέγομεν, Ἐμοῦ διδάσκοντος, γενικὴ ἀπόλυτος, ἀποδιδομένη πρὸς τὸ, Μανθάνεις.

## Τῶν Προθέσεων.

Αἱ Προθέσεις φέρονται πρός τινα πλαγίαν πτῶσιν· ἤτοι μίαν, ἢ δύο, ἢ τρεῖς· ἥτις καλεῖται Συντακτικὴ τῆς προθέσεως·

ἡ Ἐν, συντάσσεται δοτικῇ· οἷον· ἐν οἴκῳ· καὶ γενικῇ κατ' ἔλλειψιν τῆς δοτικῆς· οἷον· ἐν ᾅδου· ἀντὶ ἐν τῷ τόπῳ τοῦ ᾅδου.

ἡ Εἰς, αἰτιατικῇ· οἷον· εἰς οἶκον· καὶ γενικῇ κατ' ἔλλειψιν τῆς αἰτιατικῆς· οἷον· εἰς διδασκάλου· ἀντὶ εἰς τὸν οἶκον τοῦ διδασκάλου·

ἡ Ἐξ, γενικῇ· οἷον· ἐξ οὐρανοῦ· ἐκ τοῦ διδασκάλου.

ἡ Σὺν, δοτικῇ· οἷον· σὺν σοί.

ἡ Πρὸς, γενικῇ, δοτικῇ, καὶ αἰτιατικῇ· οἷον· πρὸς θεοῦ, πρὸς τοῖς ποσὶ, πρὸς σέ.

ἡ Πρὸ, γενικῇ· οἷον· πρὸ τῆς θύρας.

ἡ Ἀνὰ, αἰτιατικῇ· οἷον· ἀνὰ τὸ πεδίον.

ἡ Κατὰ, γενικῇ, καὶ αἰτιατικῇ· οἷον· καθ' ἡμῶν, κατὰ Πλάτωνα.

ἡ Διὰ, γενικῇ καὶ αἰτιατικῇ· οἷον· διὰ σοῦ, διὰ σέ.

ἡ Μετὰ, γενικῇ καὶ αἰτιατικῇ· οἷον· μετὰ σοῦ· μετὰ τὸ ἄριστον.

ἡ Παρὰ, γενικῇ, δοτικῇ, καὶ αἰτιατικῇ· οἷον· παρὰ σοῦ, παρὰ τῷ βασιλεῖ, παρὰ τὸ δίκαιον.

ἡ Ἀντὶ, γενικῇ, οἷον· ἀντὶ σοῦ.

ἡ Ἐπὶ, γενικῇ, δοτικῇ, καὶ αἰτιατικῇ· οἷον· ἐπὶ γῆς, ἐπ' ἀγαθῷ, ἐφ' ἡμᾶς ὥρμησεν.

ἡ Περὶ, γενικῇ, δοτικῇ, καὶ αἰτιατικῇ· οἷον· περὶ προθέσεως, περὶ δουρὶ, περὶ τὴν πόλιν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΣΗ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

ἡ Ἀμφὶ, γενικῇ, δοτικῇ, καὶ αἰτιατικῇ· οἷον· ἀμφὶ τούτου, ἀμφὶ δουρὶ, ἀμφὶ τὴν πόλιν.

ἡ Ἀπὸ, γενικῇ· οἷον· ἀπὸ τοῦ δικαίου.

ἡ Ὑπὸ, γενικῇ, δοτικῇ, καὶ αἰτιατικῇ· οἷον· ὑπὸ σοῦ, ὑπὸ δένδρῳ, καὶ ὑπὸ δένδρον.

ἡ Ὑπὲρ, γενικῇ καὶ αἰτιατικῇ· οἷον· ὑπὲρ σοῦ, ὑπὲρ τὴν Θράκην ἡ Μακεδονία.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Τῶν Ἐπιῤῥημάτων.

Τὰ Ἐπιῤῥήματα ἀεὶ πρὸς τὸ ῥῆμα φέρονται· ἔνια δὲ καὶ πρός τινα πλαγίαν πτῶσιν· οἷον· φεῦ τοῦ μεγέθους! οἴμοι τῷ ἀθλίῳ! μὰ Δία· καλεῖται ἡ πτῶσις Συντακτικὴ τοῦ Ἐπιῤῥήματος.

## Τῶν Συνδέσμων.

Οἱ Σύνδεσμοι συνάπτουσιν ἀεὶ ὅμοια κατὰ τὴν χρείαν, ἔνιοι δὲ καὶ πλαγιοπτώτως συντάσσονται· οἷον· ὅτι τις ἕνεκά σου· καλεῖται ἡ πτῶσις Συντακτικὴ τοῦ Συνδέσμου.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

## Ὀρθόν.

### Ἢ Περὶ τῆς κατὰ μέρος Συντάξεως ἑκάστου τῶν Μερῶν τοῦ λόγου.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

### Τοῦ Ὀνόματος.

Τὰ Ὀνόματα ἐν τῇ Συντάξει λαμβάνονται διττῶς· ἤτοι καθ' ἑαυτὰ πρὸς μηδεμίαν μὲν φερόμενα πτῶσιν, πρὸς δὲ τὰ συμφερόμενα αὐτοῖς ἐπίθετα ὁμοιογενῶς, ὁμοιοπτώτως, καὶ ὁμοιαρίθμως συμφωνοῦντα· οἷον· ὁ φιλόσοφος Σωκράτης· ἢ κατ' ἀναφορὰν πρός τινα τῶν πλαγίων πτώσεων· Αἰτιατικὴν, ἢ Δοτικὴν, ἢ Γενικὴν· οἷον· λευκὸς τὴν τρίχα, ἰδιώτης τῷ λόγῳ, ἄξιος τιμῆς.

### Περὶ Κυρίου, Προσηγορικοῦ, καὶ Ἐπιθέτου.

Τὰ δ' Ἐπίθετα τοῖς Οὐσιαστικοῖς συμφέρονται διττῶς, ἐνάρθρως καὶ ἀνάρθρως. Καὶ ἐνάρθρως μὲν, ἐὰν ἡ τοῦ ὑπαρκτικοῦ μετοχὴ ἀποῦσα, ὅμως ἐπινοεῖται, ὅτε προηγούμενα μὲν, αὐτὰ μόνον ἐνάρθρως λέγονται· οἷον· Ὁ ἀγαθὸς Σωκράτης· ἑπόμενα δὲ, ἄμφω· οἷον· Ὁ Σωκράτης ὁ ἀγαθός· ἀνάρθρως δὲ, ἐὰν τὸ ὑπαρκτικὸν αὐτὸ ῥῆμα ᾖ, ἤτοι λεγόμενον, ἢ νοούμενον· οἷον· Σωκράτης ἐστὶν ἀγαθός· Ἀριστοτέλης σοφός· ἔνθα τὸ οὐσιαστικὸν ἐπιφερόμενον, ἐνάρθρως λέγεται· οἷον· ἀνθρώπινον τὸ πάθος.

Πρὸς δὲ πλαγίαν πτῶσιν φερόμενα τὰ Κύρια καὶ Προσηγορικὰ καὶ Ἐπίθετα, προσδιορίζουσαν τὸ ὅλον ἢ τὸ μέρος, ἢ ὁ, τιδήποτοῦν

ΙΩΑΝΝΙΝΑ 2006 Κ.τ.Π.

προσδιορισμοῦ χρήζει, αἰτιατικὴν ὡς ἐπὶ τὸ πλεῖστον ἀπαιτοῦσι κατ' ἔλλειψιν τῆς Κατά· οἷον· Πέτρος τὴν κλῆσιν· ἄνθρωπος τὸ εἶδος· λευκὸς τὴν τρίχα· πυῤῥὸς τοὺς ὀφθαλμούς· τὸ γὰρ δὴ σῶμα μέγας τε ἦν καὶ καλὸς ἰδεῖν· (Λουκιαν. ἐν Ἀλεξάνδ. Σημείωσαι δὲ ὅτι τὸ ἰδεῖν ἀντὶ αἰτιατικῆς κεῖται· οἷον· κατὰ τὸ ἰδεῖν.) ἐνίοτε δὲ καὶ δοτικῇ συντάσσονται, κατ' ἔλλειψιν τῆς Ἐν· οἷον· ἄνθρωπος τῇ οὐσίᾳ· τοὺς ταῖς οὐσίαις ἐνδεεστέρους (Ἰσοκρ. Πανήγυρ.)· εἰ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει (Παῦλος Κορινθ. Β'. ιά. 6)· οὔτε ποσὶ ταχὺς, οὔτε χερσὶν ἰσχυρός (Ξενοφ. Κύρ. Παιδ. Α. ἑ. 7).

Ἔνια δὲ τῶν ἐπιθέτων καὶ προθετοπτώτως ἔχουσι τὴν συνεκδοχικήν· οἷον· ἀλλ' οὗτοι ἰδιῶται εἰσὶ κατὰ τοὺς πόνους (Ξενοφ. Κύρ. Παιδ. Β'. γ'. 3)· δεινὴ εἰς τὸ πρᾶγμα ἡ κακία (Αἰσχ. κατὰ Τιμάρχ.)· περὶ τοῦτο δεινὸς εἶ (Λυσίας κατὰ Θεομνήστ.)· κἂν τοῖς λόγοις δεινὸς Δημοσθένης (Αἰσχ. περὶ Παραπρεσб.)· ὦ πρὸς μὲν τὰ μεγάλα καὶ σπουδαῖα τῶν πραγμάτων ἁπάντων ἀνθρώπων ἀχρηστότατε, πρὸς δὲ τὴν ἐν τοῖς λόγοις τόλμαν θαυμασιώτατε (Αἰσχ. κατὰ Κτησιφῶντ.).

Τὰ δέ τοι ὡς Κτητικὰ γενικῇ συντάσσονται· οἷον· τὰ Μετοχικά· οἷον· μέτοχος τῆς αἰτίας (Λυσίας Ἀρεοπαγητ.)· τὰ πληρωτικά· οἷον· κενῶν ἐλπίδων πλήρεις (Δημοσθ. προοίμ. διήγημ.)· τὰ Κενωτικά· οἷον· κενὰ πάντων ἀπέδειξε (Ξενοφ. Ἑλλην. Ζ'. γ'. 7.)· τὰ Στερητικά· οἷον· οὐδενὸς ἐνδεής (Αἰσχίν. κατὰ Τιμάρχ.)· τὰ Τιμητικά· οἷον· αἵματος ὠνία ἡ ἀρετὴ (Αἰσχ. κατὰ Κτησιφῶντ.)· καὶ ὅλως, τὰ Ῥηματικά· οἷον· κοπεὺς ξύλου.

Σημ. Πολλάκις τινὰ τῶν ῥηματικῶν ὀνομάτων οἱ Ἀττικοὶ αἰτιατικῇ συντάσσουσιν· οἷον· ἐπιστήμονες τὰ προσήκοντα (Ξενοφ. Κύρ παιδ. Γ. 3. 9.).

## Περὶ τῶν Πρός τι.

Τῶν δὲ Πρός τι, ὅσα μὲν καθ' ὑπεροχὴν ἢ καθ' ὑποταγήν εἰσι, πρὸς γενικὴν φέρονται· οἷον· πατὴρ υἱοῦ, δοῦλος δεσπότου· ὅσα δὲ ἐξ ἴσου πρὸς δοτικήν· οἷον· θεοῖς φίλος· θεοῖς ἐχθρὸς (Δημοσθέν. περὶ Στεφ.)·

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... Ε.Υ. ΙΩΑΝΝΙΝΑ 2006

καὶ γενικῇ δὲ κτητικῶς· οἷον· ὄρνις ὁμοία τῶν λοιπῶν ὀρνίθων (Αἰσώπ Μύθ.):

Τοῖς δ᾽ ἐξ ἴσου πρός τι ἕπεται καὶ τὰ ἐκ τοῦ Ὁμοῦ, ἢ Σὺν συγκείμενα· καὶ ταῦτα γὰρ δοτικῇ· οἷον· ἀδελφὸς γ᾽ ἐστὶ τούτῳ ὁμομήτριος καὶ ὁμοπάτριος (Δημοσθ. κατὰ Ἀριστογείτ.)· συνεργὸς αὐτῷ καὶ συναγωνιστής (Δημοσθ. περὶ Στεφ.). Δοτικῇ δὲ καὶ τὰ ῥηματικά, ὧν τὰ Ῥήματα δοτικῇ συντάσονται· οἷον· τῷ τῆς πολιτείας ὀνόματι ἀκόλουθος (Δημοσθ. περὶ Συντάξ.)· ὅτι καὶ ἀκολουθῶ τούτῳ.

Σημ. Α. Πρὸς τοῖς δε καὶ τὰ ἐκ τῆς Ὑπὸ· οἷον· ὑπεύθυνος. Καὶ τὰ ἐκ τοῦ Ἴσος, ὅμοιος, ταὐτὸν· οἷον· ἰσόψηφος, ὁμόφρων, ταὐτοδύναμος.

Σημ. Β. Ἔτι καὶ τὰ παθητικὰ ῥηματικὰ δοτικῇ συντάσσονται· οἷον· ἀγαπητὸς ἐμοί, ποθητὸς τῷ πατρί.

Τὸ δέ τοι ἐναντίον καὶ μετὰ τοῦ ἢ λέγεται· οἷον· καί μοι δοκεῖ τὸ μαντεῖον τοὐναντίον ξυμβῆναι, ἢ προσεδέχοντο (Θουκυδ. ξυγγραφ. Β΄. ϛ΄.).

## Περὶ τῶν ὡς πρός τι.

Τὰ δ᾽ ὡς πρός τι διεζευγμένως ἐν τῷ λόγῳ λαμβάνονται· οἷον· ἤτοι ἡμέρα ἐστίν, ἢ νύξ· ἢ φῶς, ἢ σκότος· ἢ ζωή, ἢ θάνατος.

## Περὶ Διαφορικῶν.

Τὰ Διαφορικὰ πλαγιοπτώτως πρὸς γενικὴν φέρονται· οἷον· ἕτερον τοῦ ζώου ὁ λίθος· ἄλλο ὁ ἵππος τοῦ ἀνθρώπου· καὶ ὁμοιοπτώτως μεσοσυλλαβοῦντος τοῦ Ἤ ἢ Ὅτι μή· οἷον· ἄλλῳ τινὶ τρόπῳ, ἢ ἀνθρωπείῳ τὴν ἀλλοίωσιν γενέσθαι (Θουκυδ. Δ΄. ριστ΄.)· μηδὲν ἕτερον ἀναπνεύσαντες, ὅτι μὴ λόγον εὐσεβῆ (Γρηγόρ. Ναζιαν. εἰς Βασιλ. ἐπιτάφ.)· καὶ πρὸς αἰτιατικὴν μετὰ τῆς Παρὰ· οἷον· ἐγὼ Ἀσκληπιὸς νέος ἄλλος παρ᾽ ἐκεῖνον τὸν πρότερον (Λουκιαν. Ἀλέξ. ἢ ψευδόμ.)· καὶ μετὰ τοῦ Πλήν· οἷον· ἄλλο τι, πλὴν ἀσεβεῖν φήσομεν (Δημοσθ. κατὰ Μηδείου.).

Τὸ δ᾽ ἄλλος ἀκριβῆ ὁμοίωσιν δηλοῦν, ὁμοιοπτώτως λέγεται· οἷον·

ΙΩΑΝΝΙΝΑ 2006

ἄλλος οὗτος Ἡρακλῆς Πλούταρχ. Θησ. κθ.) φίλος ἐστὶν ἄλλος ἐγώ.

## Περὶ Ἀριθμητικῶν.

Τὰ Ἀριθμητικὰ ἀπολύτως λέγονται· οἷον· εἷς, δύο, τρεῖς· καὶ διαιρετικῶς συντάσσονται πρὸς γενικὴν· οἷον· εἷς τῶν πολλῶν. Καὶ μετὰ τῆς ἐξ· οἷον· Ἓν ἐξ ἁπάντων (Λουκ. περὶ αἱρέσ.).

## Περὶ Τακτικῶν.

Τὰ Τακτικά, πρὸς ἃ τὴν τάξιν ἐμφαίνει, γενικὴν ἀπαιτεῖ· οἷον· πρῶτος τῶν ἄλλων· δεύτερος τούτου· καὶ αἰτιατικῇ δὲ μετὰ τῆς Μετὰ συντάσσονται· οἷον· τὰ δεύτερα μετὰ τὸν θεόν (Λουκ. Φάλαρ. Β΄.).

## Περὶ Πατρωνυμικῶν.

Ὅταν ἡ Πατρωνυμία ἑνὶ μόνῳ ἀνήκει, μόνα τίθεται τὰ Πατρωνυμικὰ εἰς δήλωσιν τοῦ υἱοῦ· ὅταν δὲ πλείοσι, καὶ τὰ κύρια τῶν παίδων ὀνόματα· ὁ Πριαμίδης Ἕκτωρ, ὅτι καὶ ὁ Πάρις.

## Περὶ Κτητικῶν.

Τὰ Κτητικὰ ἐπιθετικῶς συντάσσονται· οἷον· ἡ Ἰωνικὴ στολή· ἐὰν δὲ δέῃ ἐπιφέρειν αὐτοῖς καὶ ἑτέραν πτῶσιν ταὐτοπροσωποῦσαν τῷ κτήτορι, γενικὴν δεῖ εἶναι αὐτὴν καὶ ὁμοιάριθμον· οἷον· Ἀθηναῖος ὢν πόλεως τῆς μεγίστης καὶ εὐδοκιμωτάτης (Πλάτ. Ἀπολογ. Σωκράτ.). Παρὰ τῇ Νεστορείῃ νηΐ τοῦ ἐκ Πύλου βασιλέως (Ὁμηρ. Ἰλ. Β΄. 58.).

## Περὶ Συγκριτικῶν.

Τὰ Συγκριτικὰ πρὸς ἃ ἔχει τὴν σύγκρισιν γενικὴν ἀπαιτεῖ, ἤτοι ἑνικοῦ, ἢ πληθυντικοῦ ἀριθμοῦ· οἷον· Σωκράτης Μελίσσου σοφώτερος, καὶ ἑτέρων ἐνδόξων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΘΕΜΕΛΗΣ-ΠΕΤΣΙΟΣ
Ε.Υ. Ζήσης Κ. Π. ΙΩΑΝΝΙΝΑ 2006

Καὶ μετὰ τοῦ Ἤ δὲ, ὁμοιοπτώτως λέγεται τὰ Συγκριτικά· οἷον· Σὺ δὲ μέλλεις ἐπ' ἄνδρας στρατεύεσθαι πολὺ ἀμείνονας ἢ Σκύθας (Ἡρόδ. Πολύμν. δ'.). Ἤδη δέ τινες καὶ ἐκ δεινοτέρων, ἢ τοιῶνδε ἐσώθησαν (Θουκ. ξυγγρ. Ζ'. οζ'.). Ἀλλὰ πλουσιωτέρῳ μὲν ἂν ἢ ἐμοὶ ἐδίδους (Ξενοφ. Κύρ παιδ. Η. γ'. 32.). Καὶ πρὸς αἰτιατικὴν δὲ μετὰ τῆς Κατά· οἷον· Νεκρὸν μείζω ἢ κατὰ ἄνθρωπον (Πλάτ. Πολιτ. Β'.). Καὶ μετὰ τοῦ ὡς· οἷον· Πλέον ἢ κατὰ ἄνθρωπον. Καὶ πρὸς ἀπαρέμφατον· οἷον· Τὸ νόσημα μεῖζον ἢ φέρειν (Σοφοκλ. Οἰδίπ. 1097.). Καὶ τοῦ ὥστε· οἷον· ἡγησάμενος ἐμαυτὸν τῷ ὄντι ἐπιεικέστερον εἶναι ἢ ὥστε εἰς ταῦτα ἰόντα σώζεσθαι (Πλάτων Ἀπολ. ιθ'.).

Σημ. Οὐχ ἁπλῆ ἐστιν ἡ ἀντὶ τῆς γενικῆς τοῦ Συγκριτικοῦ διὰ τοῦ Η χρῆσις· ἀλλ' ἔνθα δύσχρηστός ἐστιν ἡ γενικὴ, καὶ ἐπιφέρεται ἡ αὐτὴ σύνταξις, ἐν ᾗ καὶ τὸ συγκριτικὸν, ἐνταῦθα χρῶνται τῇ διὰ τοῦ Η συντάξει· οἷον· ἤδη τινὲς καὶ ἐκ δεινοτέρων ἢ τῶνδε ἐσώθησαν. Γίνεται δὲ καὶ ἐν τοῖς τοιούτοις ἡ γενικὴ εὔχρηστος, ἐὰν μεταλαμβάνηται κατὰ γενικὴν τὸ, πρὸς ὃ ἡ σύγκρισις ἐμμέσως ἀναφέρεται· οἷον· μείζων τῷ εἰπόντι γίνεται βλάβη τοῦ πεποιηκότος· ἀντὶ τῆς βλάβης τοῦ πεποιηκότος.

Καὶ χωρὶς δὲ τοῦ Ἤ προθετοπτώτως πρὸς αἰτιατικὴν μετὰ τῆς Παρὰ εὕρηται τὰ Συγκριτικά· οἷον· Ἡλίου τε ἐκλείψεις, αἳ πυκνότεραι παρὰ τὰ ἐκ τοῦ πρὶν χρόνου μνημονευόμενα συνέβησαν (Θουκυδίδ. ξυγγρ. Α. κγ'.).

Καὶ μόρια δὲ ἐπιτατικὰ ἐνίοτε προστίθεται πρὸς πλείονα ἐπίτασιν τῆς συγκρίσεως· οἷον· Ποῦ πολὺ πλείων εὐμάρεια (Ξενοφ. Οἰκον. ἐ. 9.).

Ὅτε δὲ ἡγεῖται τοῦ συγκριτικοῦ ἀορίστου ποσότητος ὄνομα, εἰς δοτικὴν σχηματίζεται συνεκδοχικῶς· οἷον· ἡ μοῖρα πολλῷ δικαιοτέρα (Λουκιαν. Ποσειδ. Νηρηΐδ.)· ὅσῳ πλείονα πεποίηκε, τοσούτῳ θαυμαστότερος νομίζεται. (Δημοσθ. Ὀλυνθ. Β'.)·

Ὅτε τὸ Συγκριτικὸν πρὸς οὐδὲν ἀποδίδοται, ἀντὶ ἁπλοῦ θετικοῦ κεῖται· οἷον· Ἐκ τῶν χειρόνων ἐπανελθεῖν τὰ χρηστότερα (Γρηγόριος Ναζιαν. εἰς τὸ Χριστ. γεννᾶτ.). Καί τι καὶ τοῦ θετικοῦ μετριώτερον ὑποδηλοῖ· οἷον· Καὶ ἀνειμένῃ τῇ διαίτῃ εἰς τὸ τρυφερώτερον μετέστησαν (Θουκ. ξυγγρ. Α. στ'.).